# 08-12-2015 ΕΣΠΕΡΑΣ

## † Προεόρτια τῆς Συλλήψεως τῆς Ἁγίας Ἄννης, καὶ μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παταπίου.

**ΙΕΡΕΥΣ:** Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**ΑΝΑΓΝΩΣΤΗΣ:** Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

### Ψαλμὸς ργʹ (103)

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνάμεσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ

μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

ᾌσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου

δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (......), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καί τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονής Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοὶ Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

# Εἰς τὸ Κύριε ἐκέκραξα

ἱστῶμεν στίχους ϛ΄, καὶ ψάλλομεν τὰ ἑπόμενα

Στιχηρὰ Προσόμοια τοῦ Ἁγίου.

Ἦχος α΄.

Πανεύφημοι Μάρτυρες.

Ἦχος Πα



ε ει σα α κου ου ου σο ον μου Κυ υ

υ υ ρι ι ι ι ε

Κα τευ θυν θη η η η η τω η προ σε ευ

χη η η η μου ως θυ μι ι ι α α

μα α α α ε νω ω ω πι ι ι ο ο ο ον

σου ε παρ σις τω ω ων χει ει ρω ων μου

θυ σι ι α ε σπε ε ρι ι νη η η ει

σα α κου ου ου σο ον μου Κυ υ υ υ ρι

ι ι ι ε

Στίχος. Ε αν α νο μι ας πα ρα τη

ρη σης Κυ ρι ε Κυ ρι ε τις υ πο

στη η σε ται ο τι πα ρα σοι ο ι λασ μος ε στι

Πάτερ Πατάπιε σαρκός, τὰς ὁρμὰς ἀσκήσεως, καταμαράνας πυρσεύμασιν, ἔρημον ᾤκησας, ὡς Ἠλίας πάλαι, τὸν νοῦν καθηράμενος, ἀπαύστοις πρὸς τὸ Θεῖον ταῖς νεύσεσι· καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Στίχος. Ε νε κεν του ο νο μα τος σου υ πε μει να σε Κυ ρι ε υ πε μει νεν η ψυ χη μου εις τον λο γον σου ηλ πι σεν η ψυ χη μου ε πι τον Κυ ρι ον

Πάτερ Πατάπιε χοροῖς, Ἀσκητῶν ἠρίθμησαι,τῇ ἀπαθείᾳ κοσμούμενος, καὶ κατεσκήνωσας, ἐν μοναῖς ὁσίαις, ἔνθα φῶς τὸ ἄδυτον,τὸ ξύλον τῆς ζωῆς ἔνθα πέφυκε· καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν,τὴν

εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Στίχος. Ἀ πο φυ λα κης πρω ι ας
με χρι νυ κτος α πο φυ λα κης πρω ι ας
ελ πι σα τω Ισ ρα ηλ ε πι τον Κυ ρι
ον

Πάτερ Πατάπιε φωστήρ, ἐξ Αἰγύπτου ἔλαμψας, φωταγωγῶν τὴν ὑφήλιον, θαυμάτων λάμψεσι, ψυχοφθόρων νόσων, ἀπελαύνων ζόφωσιν, δαιμόνων ἐκμειῶν ἀμαυρότητα· καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

## Προσόμοια ἕτερα.
## Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ο τι πα ρα τω Κυ ρι ω το ε
λε ος και πολ λη παρ αυ τω λυ τρω σις
και αυ τος λυ τρω σε ται τον Ι σρα ηλ εκ
πα σων των α νο μι ων αυτου

Τῷ Χριστῷ ἐκ νεότητος, ἠκολούθησας Ὅσιε, κοσμικὴν προσπάθειαν ἀρνησάμενος, καὶ τῆς σαρκὸς τὰ σκιρτήματα, νεκρώσας Πατάπιε, ἰσαγγέλῳ σου ζωῇ, τῶν Αγγέλων ἐφάμιλλος, ἀναδέδειξαι, καὶ ταμεῖον τῆς θείας ἐπιπνοίας, ἀρετῶν ταῖς φωταυγείαις, φαίνων τοῖς πᾶσι τὰ κρείττονα.

Αι νει τε τον Κυ ρι ον παν τα τα
ε θνη ε παι νε σα τε αυ τον παν τες οι λα
οι

Ἐξ Αἰγύπτου ὡς ἥλιος, ἐπιστὰς Πάτερ ὅσιε, τὴν Κωνσταντινούπολιν κατεπύρευσας, ταῖς ἐναρέτοις σου πράξεσι, καὶ τρόπων χρηστότητι , καὶ θαυμάτων ἱερῶν , ἐπιδείξεσιν ῞Αγιε· δαιμονῶντας γάρ, θεραπεύεις καὶ πήρωσιν ὀμμάτων, καὶ τὸ πάθος τοῦ καρκίνου, τῇ σῇ ἐντεύξει ἰάτρευσας.




Κορινθίας τὸ καύχημα, Λουτρακίου τὸν ἔφορον, ὡς Χριστοῦ θεράποντα γνησιώτατον, τὸν θεοφόρον Πατάπιον, ὑμνήσωμεν ἅπαντες, ὡς προστάτην τῶν πιστῶν, καὶ θερμὸν ἀντιλήπτορα, καὶ ὑπέρμαχον, τῆς οἰκείας Μονῆς τῆς κεκτημένης, ὡς πηγὴν θείαν χαρίτων, τὸ ἱερὸν αὐτοῦ λείψανον.

## Δόξα... Ἦχος πλ. β'

### Ἦχος Πα




α α βω ω ω μεν εν ευ φρο συ υ υ υ
νη η η βο ω ω ω ων τες χαι αι ροις
ο τω Χρι στω ο λο σχε ρω ως α α να α α
τε θεις και της εν αυ τω ω ζω ω ω
ης καρ πο φο ρη η σα α ας τας χα α α
ρι ι ι ι τας χαι αι αι ροις του Πα ρα κλη
του δο ξα σθει εις τη η δω ω ω ρε α και
θαυ μα τω ω ων ε ε ε νε ερ γει ει ει αις τω
κο ο ο ο σμω ω ω εκ λα α α αμ ψας
χαι αι αι ροις των Γε ρα νει ει ω ω ων
ο ο πυ υ υρ σος του Λου τρα κι




Καί νῦν. Προεόρτιον

Ἦχος Πα




του ου ους αι ω νας των αι ω ω ω ω νω
ων α α α μην
Σπη η η λαι αι ο ο ον ε ε ευ τρε ε πι
ζου η Α μνα ας γα αρ η η η κει ει
εμ βρυ ον φε ε ρου σα α Χρι ι ι στον
Φα ατ νη η δε ε ε υ υ υ πο ο δε χου
τον τω λο γω λυ υ σα α αν τα της α
λο ο ο γου πρα α α ξε ε ε ε ε ως
η μα ας τους γη η γε ε ε νεις Ποι με
ε νε ε ες α α α γρα αυ λουν τες μαρ
τυ ρει ει ει ει τε θα α αυ μα το ο


φρι ι ι κτον και Μα α γοι εκ Περ σι
ι ι ι δος χρυ σον και λι βα α α νο ο
ον και αι σμυ υ υ υρ ναν τω Βα σι λει ει προ
σα α ξα α α τε ο τι ω ω ω φθη
Κυ υ υ ρι ι ι ι ος εκ Παρ θε ε ε
νου ου Μη η η τρος ον περ και κυ ψα σα
δου λι ι κως η Μη τηρ προ ο ο σε κυ υ υ υ
νη η η η σε και προ σε φθεγ ξα το τω εν
α γκα α λαις α α αυ της Πω ω ως
ε ε ε νε σπα α α ρη η η ης μοι η
πως μοι ε ε ε νε ε ε φυ υ υ υ ης


ο λυ τρω τη η ης μου και αι αι Θε ε ε ε
ο ο ο ο ος

# 08-12-2015 ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΟΥ ΠΑΤΑΠΙΟΥ

## Εἴσοδος, Φῶς ἱλαρόν

Ἦχος Δι






## ΤΑ ΠΡΟΚΕΙΜΕΝΑ ΚΑΤΑ ΤΟΝ ΚΑΘΟΡΙΣΜΕΝΟΝ ΗΧΟΝ

## Προκείμενον
## Τῇ Κυριακῇ ἑσπέρας
### Ἦχος πλ. δ΄ Νη




Στίχ. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.



## Προκείμενον
## Τῇ Δευτέρᾳ ἑσπέρας
## Ἦχος δ΄

Ἦχος Δι




Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου.



# Προκείμενον
## Τῇ Τρίτῃ ἑσπέρας
## Ἦχος Πα




(Δὶς)

**Στίχ. Κ**ύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Τὸ τρίτον:



## Τῇ Τετάρτῃ ἑσπέρας

## Προκείμενον

### Ἦχος πλ. δ' Κε

Ο Θε ος εν τω ο νο μα τι σου σω σον με και εν τη δυ να μει σου κρι νει ει ει εις με (Δίς)

**Στίχ. Ὁ** Θεός εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τά ρήματα τοῦ στόματός μου.

Τὸ τρίτον. Ο Θε ος εν τω ο νο μα τι σου σω σον με και εν τη δυ να μει σου κρι νει ει εις με ε ε

## Τῇ Πέμπτῃ ἑσπέρας.

Ἦχος λ/π Βου

Η βο η θει α α μου πα ρα Κυ ρι ου
του ποι η σαν τος τον ου ρα νο ον και την
(Δίς)
γην

**Στίχ.** **Ἦ**ρα τούς ὀφθαλμούς μου εἰς τά ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τὸ τρίτον.
Η βο η θει α α μου πα ρα
Κυ ρι ου του ποι η σαν τος τον ου ρα
νο ον και την γη η ην

Τῇ Παρασκευῇ Ἑσπέρας

Ἦχος Βαρύς

Ο Θε ος αν τι λη πτωρ μου ει Δι το ε λε ο ος σου προ φθα α σει με (Δίς)

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καί ἐκ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμέ λύτρωσαί με.

Τὸ τρίτον. Ο Θε ος αν τι λη η πτωρ μου ει ει Δι το ε λε ο ος σου προ φθα α σει με ε ε

## Εἶτα τὰ Ἀναγνώσματα.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
### (Κεφ. γ' 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρὶῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδὲξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
### (Κεφ. ε' 15-23 καὶ 6. 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιησει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκἀταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς.

Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

## (Κεφ. δ΄. 7-15)

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις,καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἴπωμεν πάντες ἐξ ὅλης της ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε ἐλέησον (ἅπαξ).

Κύριε παντοκράτορ ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (ἅπαξ).

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν , καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων του Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε ἐλέησον (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε ἐλέησον (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε ἐλέησον (ἅπαξ)

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν , τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης:

Ἀμήν. Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός

σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε. δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος:

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη της ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοί, Κύριε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπί τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰς τὴν Λιτήν, Στιχηρὸν Ἰδιόμελον.

Ἦχος Πα



α γαλ λο ο μεε θα την προς η μας σου κη

ρυτ το ον τε ες πο ολ λη η ην κη δε ε

μο νι ι ι αν εξ αυ του γαρ λαμ βα νο

ο μεν α γι α σμου ου τα ας δω ρε ας και

πα σαν ο νη σιν σω τη η ρι ι ον και

δυ σχε ρω ων α α παλ λα γην αλλ ω Πα τα

πι ε Ο σι ι ε την σην μο νην α ει

φυ υ λα ατ τε ε πη ρει ων του ο φε ε

ως και δι δου πα σι τα αι τη μα α τα α

τοις προ σι ου σι τη πρεσβει ει ει ει α

α α α σου ου ου ου

Πλαγίου Τετάρτου.

Ἦχος Νη




Πα ρασχου Κυ ρι ε
Υ περ α γι α Θε ο το κε σω σον η
μας
Σοι οι οι οι οι οι οι οι οι οι Κυ υ
υ υ ρι ε
Αμην
Ἦχος Ἐναρμόνιος
Κυ ρι ε ε ε λε ε η σον
Κυ ρι ε ε λε η σον
Κυ υ ρι ε ε λε η η σον
Κυ ρι ε ε ε λε ε η η σον


Κυ ρι ε ε λε ε ε η σον
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ ρι ε

Εἰς τὴν Ἀρτοκλασίαν

Ἐπιλογές παρά διαφόρων Διδασκάλων




## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ ΑΓΙΟΡΕΙΤΙΚΟ ΗΧΟΣ ΠΛ. Α'



# Θεοτόκε Παρθένε

Ἦχος πλ. α' Κε




ων
Πλου σι οι ε πτω χευ σαν και ε πει
να σαν οι δε εκ ζη τουν τες τον Κυ ρι ον
ουκ ε λατ τω ω θη σον ται παν το ος
α γα θου
Το τέλος τοῦ τρὶτου.
παν το ος α γα
θου ου ου ου ου ου ου

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

### Στιχηρὰ Προσόμοια.

### Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν ἀσκητῶν καλλονή, θείας ἀγάπης ὁ λειμὼν ὁ μυρίπνοος, ὁ πᾶσι τὴν εὐωδίαν, τῶν ἀρετῶν ἐφαπλῶν, καὶ παθῶν διώκων ὀσμὴν χείρονα· δοχεῖον ὑπέρτιμον, ἐπιπνοίας τοῦ Πνεύματος, ξίφος συγκόπτον,τῶν δαιμόνων τὰς φάλαγγας, κλῆμα εὔκαρπον, τῶν καρπῶν τῆς ἀσκήσεως· λύχνος ὁ παμφαέστατος, ὁ λύων τὴν ζόφωσιν, ἀσθενειῶν πολυτρόπων, ταῖς τῶν θαυμάτων ἐλλάμψεσι, Πατάπιε Πάτερ, ὁ αἰτούμενος τοῖς πᾶσι, τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Χαίροις ὁ τῆς Αἰγύπτου βλαστός, ὁ ἐν ἐρήμῳ μὲν ὡς ἄσαρκος πρότερον, ἀσκήσας ἔρωτι θείῳ, καί θριαμβεύσας ἐχθροῦ, θείᾳ συμμαχίᾳ τὴν παράταξιν, ἐν πόλει δὲ ὕστερον, διαλάμψας τοῦ Βύζαντος, θαυμάτων αἴγλῃ, καὶ πλουσίοις χαρίσμασι, τῆς ἀμέμπτου σου, πολιτείας Πατάπιε· ὅθεν σε μακαρίζομεν, ὡς θεῖον θεράποντα, καὶ νοσημάτων παντοίων, θεραπευτὴν συμπαθέστατον, Χριστὸν

δυσωποῦντα, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. **Μ**ακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Π**άλαι τῇ εὐδοκίᾳ τῇ σῇ, μετεκομίσθη τὸ σὸν σκῆνος, Πατάπιε, ἐν ὄρεσι Γερανείων, ἔνθα Μονὴ ἱερά, τῇ σῇ κλήσει Πάτερ ᾠκοδόμηται, ἐν ᾗ πάσης τάξεως, καταφεύγουσιν ἄνθρωποι, καὶ ὧν αἰτοῦνται, παρὰ σοῦ μετὰ πίστεως, τάχος δέχονται, τὴν σωτήριον ἔκβασιν. Ὅθεν τῇ ἀντιλήψει σου, ἡ Κόρινθος γάνυται, καὶ τὸ Λουτράκιον ἅμα, καὶ ἡ περίοικος ἅπασα, Χριστὸν ἀνυμνοῦσαι, τὸν δωρούμενον τοῖς πᾶσι, τὸ θεῖον ἔλεος.

## Εἰς τὸν Στίχον.

### Ἦχος πλ. δ' Νη



μη χα α να ας τη α α σκη η η σει ει ει ει

σου και τη θει α α με το χη δο ξα σθεις

ε ε πα α ξι ι ι ως την του πο ο

θου ου ου πλη ρω ω σι ιν ε πι τη η δει

ει ως ε ε ευ ρη η η η κας δι ο

παμ μα α κα αρ Πα α τα α α πι ι ι ι

ε ρυ υ υ υ σαι η μας των πα θω ω

ω ω ων τη ης κα κι ι ι ι ας και πρε

σβευ ε ε ε Κυ υ ρι ι ι ω ε λε η θη

η ναι τα α ας ψυ χα α ας η η η η

μων


Και νυ υν και α ει και εις του ους
αι αι ω ω ω νας των αι αι ω ω ω νων
α α α μην
Βη θλε εμ ε τοι οι μα α ζου ευ
τρε πι ι ζε ε ε σθω η η η φα α
α α α τνη το σπη η λαι ον δε χε ε ε σθω ω
η η α α λη θει α α η ηλ θεν η η
σκι α πα ρε ε ε ε δρα α α α με και
Θε ος α αν θρω ω ποι οις εκ Παρ θε ε νου ου πε
ε φα νε ε ε ρω ω ω ω ται μορ φω θεις
το καθ η μα ας και θε ω σας το προ ο ο ο


σλη η η ημ μα δι ο Α α δα αμ α α να α
νε ου ου ου ται αι συν τη Ε ευ α κρα α α
ζο ο ο ον τες ε πι ι γης ευ δο κι ι α α
ε ε πε φα α α νη σω σαι το γε ε ε
ε ε νο ος η η η μω ω ω ω ω ω
ων

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τον δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, Ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ὁ ἱερεύς:

**Ὅ**τι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**ΧΟΡΟΣ:** **Ἀ**μήν.

## Ἀπολυτίκια.

### Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.



## Ἕτερον Ἀπολυτίκιον.

### Ἦχος α΄ Τῆς ἐρήμου πολίτης

Δόξα...



# Καὶ νῦν... Θεοτοκίον

Του Γα βρι ηλ φθεγ ξα μενου σοι Παρ θε
νε το χαι αι ρε συν τη φω νη ε σαρ κου
το ο των ο ο λων Δε σπο της εν σοι τη α
γι α Κι βω τω ως ε φη ο δι καιος Δα βιδ
ε δει χθης πλα τυ τε ε ρα των ου ρα νων
βα στα σα σα τον Κτι στην σου δο ξα τω ε νοι
κη σαν τι εν σοι δο ξα τω προ ελ θο ον τι
εκ σου δο ξα τω ε λευ θε ρω σαν τι η μας δι
α του το κου σου ου ου

ΙΕΡΕΥΣ: Σοφία!

ΧΟΡΟΣ: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν , πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν. Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης: Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

ΙΕΡΕΥΣ: Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν... , Κύριε ἐλέησον (γ᾽), Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν

τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τὸν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

ΙΕΡΕΥΣ: Δι' εὐχῶν των ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Χορός: Ἀμήν.

Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελῳδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.